

26 OCTOMBRIE
PARACLISUL
SF.MARE MUCENIC
DIMITRIE DE LA TESALONIC
ATENA,1925



Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ
καὶ τοῦ Ἁγίου Πνεύματος, ἀμήν.

Κανὼν Παρακλητικὸς
εἰς τὸν ἅγιο Μεγαλομάρτυρα
Δημήτριο τὸν Λουμπαρδιάρη

Ἱερεύς:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμὸς 142

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου ἐμνή-

www.tezaurliturgic.ro

σθην ἡμερῶν ἀρχαίων ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι ταχὺ εἰσάκουσόν μου Κύριε ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ κατέφυγον δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν,
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ,
καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν,

εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με,
καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν,
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη,
καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος
ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθείς...

Ἀπεριδόνητον Ἀτθῖδος τὸν δόμον, τὸν θεῖον ἔφορον ἡμῶν καὶ προστάτιν, ἀνευφημοῦμεν ἐν ᾠδαῖς ἀσμένως, πιστοί, οὗτος γὰρ ἀπέσεισε τὴν λουμπάρδα ἀθέων, πάντας ἀσινεῖς τηρῶν ἐν ἁγίῳ Ναῷ του, τὸν Λουμπαρδιάρην Δημήτριον νῦν, ἀξιοχρέως ὑμνήσωμεν ἅπαντες.

Δόξα Πατρί. Ἀπολυτίκιον Ἦχος γ΄. Μέγαν εὕρατο...

Τὸν ὑπέραθλον Χριστοῦ ὁπλίτην, τὸ μεγαίνητον Μαρτύρων κλέος, Ἀθηνῶν δὲ ἀπροσμά-

χητον ἔφορον, ἀδεισιθέων ὀφρύν ἐκμειώσαντα καὶ τὴν λουμπάρδα αὐτῶν ἀποσείσαντα, Λουμπαρδιάρην Μυροβλήτην Δημήτριον, πιστοί, ἐν ὕμνοις καὶ ᾠδαῖς ἀξίως μέλψωμεν.

Καὶ νῦν. Τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τὴν ἀπειρόγαμον Μητέρα Δεσπότου, τὸ περιτείχισμα ἡμῶν τῶν ὑμνούντων, τῶν ἀσωμάτων ἄνασσα πιστῶν δὲ μολπή, πάντες ἀνυμνήσωμεν ἐν χορῷ ἀσπασίως, ταύτην ἀνακράζων νῦν Ὀρθοδόξων ὁ δῆμος, ἀδιαλωβήτους τήρει ἡμᾶς, τῶν παλαμναίου βολῶν καὶ θλίψεων.

Ψαλμὸς 50

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί

σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου, ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ

www.tezaurliturgic.ro

Θεὸς οὐκ ἐξουδενώσει, Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὁ Κανὼν ἔχων Ἀκροστιχίδα.
Λουμπαρδιάρη ὑμνολογῶ, Ἀριστομένους
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. «Ὑγρὰν διωδεύσας...»

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν

Λουμπάρδα στραφεῖσα κατὰ Ναοῦ, Δημήτριε Μάρτυς, Ἀθηναίων ὁ ἀρωγός, κατεύκασας θείαις σου πρεσβείαις, ἀδεισιθέων γαυρίαμα ἔθραυσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ δῆμος πιστῶν ἐν τῷ σῷ Ναῷ, συνῆλθε ἑσπέρας ἀγρυπνίᾳ τε καὶ λιταῖς τιμῆσαι, Δημήτριε, σὴν μνήμην ἀδιαλώβητον τοῦτον ἐτηρήσας.

Δόξα πατρί.

Ὑμνοῦμεν σε πάντες χρεωστικῶς, θαυμάτων γὰρ βρύει ἡ εἰκών σου καὶ τῶν δεινῶν τὸν

ζόφον ἐλαύνει, Λουμπαρδιάρη Μεγαλομάρτυς Δημήτριε ἔνδοξε.

Καὶ νῦν.

Μητέρα Θεοῦ Παντευλόγητον Μαρία, ὑμνοῦμεν σε ἀσμένως ἑσμὸς πιστῶν, ἀτρύτως βοῶντες τὸν σὸν κλῆρον, ἐπιφορῶν ἀσκηθῆ διατήρησον.

Ὠδὴ γ΄. «Οὐρανίας ἀψῖδος...»

Παρεστῶτες ἐν ὄρθρῳ ἐν τῷ Ναῷ ἅπαντες, σοῦ Μεγαλομάρτυς, τὴν μνήμην ἤνεσαν, ἔνδοξε, ἐν ἀκροπόλῃ δὲ τῶν ἀλλοφύλων τὰ στίφη, τὴν λουμπάρδα ἤναπτον, Μάρτυς Δημήτριε.

Ἅγιε τοῦ Θεοῦ...

Ἁψαμένης λουμπάρδος τοῦ σοῦ Ναοῦ ὤλεσιν, οἱ τῶν ἀλλοθρήσκων ὁπλῖται ἄρτι ἡτοίμαζον, ἐξ ἀκροπόλεως κεραυνωθείσης δὲ ταύτης Λουμπαρδιάρην σε πιστοί, αὖθις ἐκάλεσαν.

Δόξα

Ῥοιζηδὸν κεραυνώσας τὸ τῶν ἐχθρῶν φρύαγμα, ἅμα καὶ ἰσχὺν τῆς λουμπάρδος,

Μάκαρ, κατέαξας, διὸ βοῶμεν σοι Μεγαλομάρτυς Κυρίου, Λουμπαρδιάρη ἔνδοξε, σεπτὲ Δημήτριε.

Καὶ νῦν.

Δυσωπῶ Σε Παρθένε, ἐπηρειῶν ῥῦσαί με, τοῦ ἀλγεσιθύμου καὶ ῥῶσιν Μῆτερ παράσχου μοι ἀμπλακημάτων δὲ τὸν καθαρμὸν Θεοτόκε, δεομένων χάρισον, πᾶσιν τοῖς δούλοις Σου.

Διάσωσον, Μεγαλομάρτυς Δημήτριε Λουμπαρδιάρη, τοὺς πιστούς σου ἐπιφορῶν δεινῶν μαστιζομένων καὶ τήρησον σώους θείαις σου πρεσβείαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις Ἱερεὺς

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεινός) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώνῃ, πόλῃ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα). Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κάθισμα Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πιστῶν οἱ χοροὶ ἀξίως εὐφημήσωμεν ἀτθῖδος κλεινῆς τὸ μέγα περιτείχισμα, Λουμπαρδιάρη αἴσιμον, Ὀρθοδόξων πάντων ἀγλάϊσμα, καὶ ἰατῆρα ἄμισθον παθῶν, Δημήτριον ἀεὶ μυροβλύζοντα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε...

Ἱσταμένων ἐμβροντήτων, οἱ διασωθέντες τῇ

www.tezaurliturgic.ro

μεσιτείᾳ σου, Λουμπαρδιάρη ἀνεκραύγαζον, ἀνυμνολογοῦμεν μεγαλεῖα σου.

Ἅγιε τοῦ Θεοῦ...

Ἀποσμύχεται σύμπασα κεραυνοπληχθεῖσα λουμπάρδα τοῦ ἐχθροῦ, Δημητρίου τοῦ τρισσοκλεοῦς, ἐνεργείᾳ θείᾳ καὶ ἐντεύξεσιν.

Δόξα Πατρί...

Ῥυσαμένων τῶν δούλων σου, τῆς καταχθονίου βουλῆς Δημήτριε, Λουμπαρδιάρη σέ ἐκάλεσαν, Μυροβλήτη Μάρτυρα λογχήνυκτε.

Καὶ νῦν...

Ἡδυμόλπεσιν ἄσμασιν, τῇ τοῦ νεκυσσόου Μητρὶ προσάξωμεν, Μαριὰμ Θεογεννήτρια, τῶν βροτῶν περίκλυτον ἀγλάϊσμα.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὕμνον ἐκτενῶς, Λουμπαρδιάρη ἀναμέλψωμεν, αὐτοῦ πρεσβείαις ἐξαιτούμενοι, ὅπως ρυσθῶμεν τοῦ ἀλάστορος ἐπιφορῶν.

Ἅγιε τοῦ Θεοῦ...

Μῆνιν εἰδεχθῆ καὶ δαιμόνων τὴν ἐγκότησιν, θραῦσον Δημήτριε δεόμεθα, πιστῶς βοῶντες, Λουμπαρδιάρη λαιψητόδρομε.

Δόξα Πατρί...

Νεύσεις ἱκετῶν μὴ παρίδης, Παναοίδιμε Μεγαλομάρτυρα Δημήτριε, καὶ παλαμναίου ἐπικούφισον ἡμᾶς βολῶν.

Καὶ νῦν...

Ὄμβροις Σῶν εὐχῶν, αὐχμηρόν ψυχῆς μου δρόσισον, Παρθενομήτωρ Πανακήρατε, σταλαηδόναις Θεοτόκε τοῦ ἐλέους Σου.

Ὠδὴ στ΄. Τὴν δέησιν...

Λουμπάρδα, ἀκριτοφώνων ὤλεσας ἀσκηθεὶς διαφυλάξας Σοὺς δούλους, τῷ σῷ Ναῷ προσπελάσαντας πόθῳ Μεγαλομάρτυς Δημήτριε Πρώταθλε, διὸ ὑμνοῦμεν εὐκλεῶς, μεγαλεῖα τὰ Σὰ πολυαίνητε.

Ἅγιε τοῦ Θεοῦ...

Ὁρθρίσας, πανηγυρίζων μνήμην Σου, ὁ ἔσμὸς τῶν σῶν πιστῶν Λουμπαρδιάρη, ἐπιβουλὰς πλήθους νηλεοθύμου, τῶν ἀλλοπίστων ἠγνόει Δημήτριε, ἀμάρυγμα δὲ κεραυνοῦ, τὴν σὴν πρόνοιαν πᾶσιν ἐτράνωσε.

Δόξα Πατρί...

Ταυροῦται ἀδεισιθέων ὅμιλος, ἀκριβόλισιν

λουμπάρδας ἰμείρων, ἀφανισμὸν ἐξυφαίνων Σῶν δούλων, ἑορταζόντων Σὴν μνήμην Δημήτριε, βληθέντος δὲ ἐξ οὐρανοῦ κεραυνοῦ αἰσχρουργίαν διέλυσε.

Καὶ νῦν...

Ὠλέναις Ἁγνὴ ταῖς σαῖς ἐβάστασας, Παντεχνήμονα Δεσπότη Παρθένε, ὃς ἀφειδῶς χαριτώνει ἐνθέως τοὺς μεγαλύνοντας ἄσμασίν τε μολπαῖς, Μητέρα Λόγου τοῦ Θεοῦ, ἀσωμάτων τὸ κλέος τὸ ἄρρητον.

Διάσωσον Μεγαλομάρτυς Δημήτριε Λουμπαρδιάρη, βελεμνῶν τῶν ἰοβόλων τοῦ πανολάστορος, τοὺς πίστει προστρέχοντας τῷ Ναῷ Σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ἱερεὺς Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν

(δεινός) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (3)

Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κοντάκιον.

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν...

Εὐκλεῶς τῆς Ἀθῖδος χοροὶ ἀνυμνήσωμεν, Λουμπαρδιάρη Μεγαλομαρτύρων ἀγλάϊσμα, τὸν Δημήτριον τῶν πιστῶν ἀεὶ καταφυγή, Ὀρθοδόξων πάντων βοηθόν, συνεχομένων βε-

www.tezaurliturgic.ro

λεμνῶν καὶ δεινῶν τοῦ ἀλάστορος· τήρησον τὸν σὸν κλῆρον, ὡς πάλαι ἐκ τῆς λουμπάρδας, ἀδιαλώβητον ἀεί· ταῖς πρεσβείαις Σου Πολύαθλε.

Α΄ Ἀντίφωνον Ἦχος δ΄

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα...

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον·

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ

ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν

Ὁ Ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον (γ΄).

Ὁ Ἱερεύς· Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.

Ὁ Χορός·

Δόξα σοι, Κύριε, δόξα σοι.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (ι΄ 32-36, ια΄ 1)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ΄ἂν ἀρνήσηταί με ἔμπροσθεν τοῦ Πατρός μου, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ,

καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ· καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα Μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Δόξα.

Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι

Τὸν Μεγαλομάρτυρα Μυροβλήτην ἀενάως, Λουμπαρδιάρην τὸν κλεινόν, Ὀρθοδόξων δῆμος ἀνευφημήσωμεν, ὅτι ἐτήρησε ἀδιαλώβητον ἐκ λουμπάρδας ἀκροπόλεως, τὸ ἀρητήριον, τὸ θεῖον αὐτοῦ τε περίκλυτον, ἐν ᾧ πιστῶν τὸ πλήρωμα, δαψιλῶς τὰς χάριτας

ἀπολαύει· Σέλας τῶν Μαρτύρων, ἀτθῖδος ἀδιάσειστον φρουρόν, ὁμολογοῦμεν σε ἅπαντες, γεραρὲ Δημήτριε.

Ἱερεὺς : Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια, πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως, τῶν θαυματουργῶν, τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ

www.tezaurliturgic.ro

Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου τοῦ Λουμπαρδιάρη καί θαυματουργοῦ, Θεοδώρου Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων γυναικῶν Θέκλας, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς, Εἰρήνης, Αἰκατερίνης, τῶν ἁγίων ἐνδόξων νεομαρτύρων Ραφαήλ, Νικολάου καί Εἰρήνης, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Νικολάου ἱερέως τοῦ Πλανᾶ, Ἀνθίμου τοῦ ἐν Χίῳ, Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ, Ἐφραίμ τοῦ ἐν ὄρει τῶν Ἀμώμων καὶ Ἰωακείμ τοῦ Παππουλάκη, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (ἡμέρας), καὶ πάντων σου τῶν Ἁγίων. ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Χορὸς : Κύριε, ἐλέησον (ιβ')

Ἱερεὺς: Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ

ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορὸς: Ἀμήν.

Ὠδὴ ζ'. «Οἱ ἐκ τῆς Ἰουδαίας»

Ἀνυμνῶ γηθοσύνως, Λουμπαρδιάρη ἀτθῖδος τὸν μέγαν ἔφορον, Δημήτριον δν πάλαι, τρισσοκλεῆ Ναόν του, ἐκ λουμπάρδας διέσωσεν, ἀδεισιθέων ἐκαιῶν, ὀφρὺν κατεάγωτα.

Ἅγιε τοῦ Θεοῦ...

Ῥαψωδῶ Λουμπαρδιάρη, Μυροβλήτη τὰς θείας εὐεργασίας σου, αἰτούμενος ἀτρύτως, βολῶν ἀλγεσιθύμου ὅπως ῥύσης τοὺς δούλους σου, ὅπως λουμπάρδαν τὸ πρίν, κατέρρηξας θεόφρων.

Δόξα.

Ἰοβόλων δηγμάτων παλαμναίου σὸν κλῆρον ἀδιαλώβητον καὶ νόσων πολυτρόπων, δεινῶν τε σκαιοτάτων τήρει πάντας Δημήτριε, καταφιλοῦντας θερμῶς εἰκόναν Σου τὴν θείαν.

Καὶ νῦν.

Στεντορείως λακάζω, ἀπειρόγαμε Νύμφη Θεογεννήτρια, πρεσβείαις Λουμπαρδιάρη, σὸν

τόκον ἐκδυσώπει ὀφλημάτων τὴν ἄφεσιν, διδοίη πᾶσιν ἡμῖν καὶ χάριν οὐρανόθεν.

Ὠδὴ η'. «Τὸν Βασιλέα...»

Τραχηλιάσας, ἀκριτοφώνων ὁ δῆμος, ἀπολέσαι Ναόν σου ἐσκόπει, κεραυνοβληθείσης λουμπάρδας ἐφιμώθη.

Ἅγιε τοῦ Θεοῦ...

Ὁλωλεκυίας τῆς ἀλλοπίστων λουμπάρδας, Μυροβλήτου σεπτοῦ ταῖς πρεσβείαις, κέκληκε σὲ αὐτίκα ἑσμὸς σὲ Λουμπαρδιάρη.

Δόξα Πατρί...

Μιαιφονίας οἱ σεσωσμένοι βοῶσιν, Λουμπαρδιάρη Δημήτριε δόξα, ὅτι τὸν σὸν κλῆρον ἀπήμαντον ἐτήρεις.

Καὶ νῦν...

Εὔμολπον ὕμνον γένος βροτῶν σὲ προσαύδει, Νυμφιοτόκε ἀμίαντε Κόρη, πάντων ἀσωμάτων τὸ ἄσμα τε καὶ κλέος.

Ὠδὴ θ'. «Κυρίως Θεοτόκον...»

Νενίκηται τὸ πλῆθος δίψαιμον ἐχθίστων,

ἐμπυριζόντων λουμπάρδα κατὰ Ναοῦ, ἀποσμυχθείσης δὲ ταύτης πιστοὶ ἐσώθησαν.

Ἅγιε τοῦ Θεοῦ...

Ὀκλάζει αὖθις δῆμος, ὁ τῶν σεσωσμένων, δοξολογούντων Δημήτριον ἔνδοξον, τὸν Λουμπαρδιάρη καὶ ῥύστιν καὶ λαιψητόδρομον.

Δόξα Πατρί...

Ὑμνοῦμεν Σε ὡσαύτως, πάντες Λουμπαρδιάρη καὶ προσπελάζομεν πίστει τῷ σῷ Ναῷ, ἀλεξιτήριον ὄντως νόσων καὶ θλίψεων.

Καὶ νῦν...

Συλλήπτωρ Θεοτόκε, πάντων Ὀρθοδόξων, ὁμολογοῦμεν Σε Μῆτερ ἀνύμφευτε, καταφευγόντων Σῇ Σκέπῃ Ἁγνὴ ἀείποτε.

Μεγαλυνάρια

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθό-

www.tezaurliturgic.ro

ρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή, πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σὺ μοὶ βοήθησον.

Δέσποινα καὶ μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα. Ὦ Δέσποινα, τοῦ κόσμου γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς, μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει, Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν

ἱστορηθεῖσαν, ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Καὶ εἶτα τὰ Μεγαλυνάρια.

Ἆσμα ἀναμέλψωμεν οἱ πιστοί, καὶ ἀσμένως ᾄσωμεν ἐν χορῷ, σῶσον Λουμπαρδιάρη Δημήτριε σοὺς δούλους, τῶν Μεγαλομαρτύρων τὸ ἀκροθίνιον.

Ῥῶσιν δίδου Μάρτυς καὶ ἄκεσιν, τοῖς μαστιζομένοις παλαμναίου τῶν βελεμνῶν, καὶ σὸν κλῆρον τήρει ἐν πᾶσιν, Λουμπαρδιάρη, δεινοῖς τε καὶ κινδύνοις ἀδιαλώβητον.

Ἵσταμαι λακάζων, Μάρτυς Χριστοῦ, μὴ παρίδῃς κλῆρον Λουμπαρδιάρη τῶν σῶν πιστῶν, τῶν προσπελαζόντων, Δημήτριε, σεπτόν σου, ἐν Φιλοπάππου ὄντος οἶκον ὑπωρειῶν.

Στωμυλίας παῦσον αἱρετικῶν ὡς ἀδεισιθέων τὴν ὀφρὺν ἔθραυσας σκαιῶν, καὶ ὀρθοδοξίας σκέπασον Λουμπαρδιάρη τὸ πλήρωμα Δημήτριε θείαις πρεσβείαις Σου.

Τῶν ἀκριτοφώνων ἐπιβουλὰς καὶ ἐμπυρισθείσης τῆς λουμπάρδας ἐπιφορᾶς, κατέαξας

Μαρτύρων τὸ κλέος Λουμπαρδιάρη κι ἀσινῆ ἐτηρήσας πιστῶν σου τὸν ἑσμόν.

Ὀρθοδόξων δῆμος βοᾷ στερρῶς, χαίροις Λουμπαρδιάρη Μυροβλήτης ὁ γεραρός, Μεγαλομαρτύρων ὁπλίτης καὶ ἀθῒδος κλέος ἅμα καὶ τεῖχος ἀπεριδόνητον.

Μέμνησο τὸν κλῆρον Σου ἀθλητά, Λουμπαρδιάρη θεῖε δυσωποῦντα Σε γοερῶς· πλήρωσον αἰτήσεις καὶ ἄκεσιν παράσχου πᾶσι τοῖς προσπελάζουσιν Ναῷ Σου τῷ σεπτῷ.

Εὔμολπον νῦν ὕμνον Σοι προσαυδᾷ, Ὀρθοδόξων δῆμος ἐν Ἀθήνησιν τῶν πιστῶν, καὶ ταῖς σαῖς πρεσβείαις αἰτούμενος βοᾷ Σοι, χαίροις Μεγαλομάρτυς κλεινέ Δημήτριε.

Νεῦσον παρακλήσεσιν ἱκετῶν, Λουμπαρδιάρη Μάκαρ τῶν ὑμνούντων Σου τὸ σεπτόν, διὰ τὸν Δεσπότην μαρτύριον καὶ τρώσεις, τὰς νυγματώδεις ἅσπερ στερρῶς ὑπήνεγκας.

Ὄχλησιν δαιμόνων τῶν μυσαρῶν, καὶ τοῦ παλαμναίου σκαιοτάτων ἐπιφορῶν, παῦσον Λουμπαρδιάρη Δημήτριε τρισμάκαρ, καὶ σὴν εἰρήνην δίδου πᾶσι τοῖς μέλπουσιν.

Ὕμνον πλέκω αὖθις τε καὶ μολπήν, Λουμπαρδιάρη αὖδω τήρει σὸν δοῦλον ἀσινῆ, ἐκ τῶν ἰοβόλων δηγμάτων τῶν δαιμόνων τε καὶ ἀλγεσιθύμου τῆς ἐγκοτήσεως.

Στεφηφόρος Μάρτυς καί αἴσιμος ἔστης Λουμπαρδιάρη τῆς ἀθῒδος ὁ ἔφορος καὶ πλευρᾶς νυχθείσης ὡς πάλαι ὁ Δεσπότης, κότινον ἀμαράντινον κλεινὲ ἀπείληφας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ')

Δόξα... Καὶ νύν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.
Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.

www.tezaurliturgic.ro

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεὺς : Ὅτι σοῦ ἐστίν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπολυτίκιον Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μυροβλήτην τὸν θεῖον καὶ Ἀθῖδος τὸν ἔφορον, τὸν λουμπάρδα τυρράνων ὠλέσαντα Δημήτριον, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί, σωτῆρα καί προστάτην τοῦ λαοῦ, Λουμπαρδιάρην τὸν ἡμέτερον στρατηγόν, ἀξίως ἀνακράξωμεν,

χαίροις Μεγαλομάρτυς γεραρέ.
χαίροις θαυματουργόβρυτε.
χαίροις ἡμῶν ἡ πάντων πλησμονὴ καὶ καταμύθιον.

Πρό τοῦ Δι' εὐχῶν...

Τροπάριον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου...

Δεῦτε εὐφημήσωμεν φαιδρῶς, τὸν ἀπεριδόνητον δόμον τῆς Ἐκκλησίας Χριστοῦ, τὸν Μεγαλομάρτυρα καὶ Λουμπαρδιάρην πιστοί, τὸν Δημήτριον ἅπαντες ἐκ πόθου καρδίας, πίστει προσπελάζοντας τῷ περικλύτῳ Ναῷ ἐφ' ὑπωρειῶν Φιλοπάππου, τὸν θαυματουργόβρυτον ὄντως, καὶ ἀμπλακημάτων ἱλαστήριον.